UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XXVI. Quòd Deus causa fuit pietatis Imperatoris; & quòd eventus prosperos à Deo poscere eique acceptos ferre debemus: secus autem gesta, negligentiae nostrae imputare.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

videntiam, & paternam adversus homines caritatem modis omnibus declarant?

A τοῦ Θεοῦ πρόνοιαν καὶ τὴν πρὸς ἀνθρώπους στοργὴν χαρακτηρίζουσιν;

## Caput XXVI.

*Quod Deus causa fuit pietatis Imperatoris, & quod eventus prosperos à Deo poscere, eique acceptos ferre debemus: secus autem gesta, negligentiæ nostræ imputare.*

Meam porro operam cùm laudant, quæ ex divini Numinis instinctu sumpsit exordium; an non apertè confirmant, fortium facinorum meorum Deum Auctorem fuisse? Ita certè. Dei enim proprium est, optima quæq; agere: hominum verò, obsequi. Illud porro optimum ac præstantissimum ministerium est, cùm quis antequam manum operi admoveat, sedulò prospicit ut cuncta quam tutissimè gerantur. Norunt quidem omnes mortales, harum manuum sanctissimum ministerium Deo deberi cum pura ac sincera fide: & precibus ac supplicationibus cùm manuum operâ conjunctis, quicquid actum est pro hominum utilitate, feliciter esse confectum: quippe cùm tantum utilitatis & privatim & publicè in omnes redundaverit, quantum quisque tum sibi, tum necessariis suis optaverat. pugnas etiam viderunt, & spectatores fuerunt prœlii, cùm divina providentia victoriam populo largita est: animadverterunt faventem precibus nostris atque adspirantem Deum. Quippe invicta res est, justa precatio, nec unquam voto suo excidit, qui sanctè Deo supplicasset. Neque enim locus repulsæ relinquitur, nisi quoties vacillaverit fides. Etenim Deus semper propitius adest, hominum probitatem benigno excipiens vultu. Quamobrem interdum quidem labi, humanum est; humanorum verò lapsuum nequaquam Auctor est Deus. Quicumque ergo pietatem consectantur, gratias omnium Servatori, pro nostra suâque ipsorum salute, & pro Reipublicæ prospero statu agere debent: sanctisque precibus & continuis supplicationibus Christum nobis propitium reddere, ut beneficia sua perpetua esse velit. Hic enim Auxiliator invictus, & Propugnator est justorum. Idem Judex optimus; Antesignanus immortalitatis; & vitæ æternæ Largitor.

## Κεφ. Κϛʹ.

Ὅτι τῆς τοῦ βασιλέως εὐσεβείας ὁ Θεὸς αἴτιος· καὶ ὅτι τὰ μὲν κατορθώματα παρὰ Θεοῦ χρὴ ζητεῖν καὶ αὐτῷ λογίζεσθαι, ῥᾳθυμίᾳ δὲ ἡμετέρᾳ ἐπιγράφειν τὰ πταίσματα.

Ὅταν δὲ τὴν ἐμὴν ὑπηρεσίαν ἐπαινῶσιν, ἐξ ἐπιπνοίας Θεοῦ τὴν ἀρχὴν ἐσχηκυῖαν, ἆρ' οὐ τῆς ἐμῆς ἀνδραγαθίας τὸν Θεὸν αἴτιον εἶναι διαβεβαιοῦνται; πάντων γε μάλιστα· ἔστι γὰρ Θεοῦ ἴδιον, τὸ τὰ ἄριστα πράττειν· B ἀνθρώπων δὲ, τὸ τῷ Θεῷ πείθεσθαι. ἔστι δὲ ἡ διακονία καλλίστη τε καὶ ἀρίστη, εἴ τις πρὸ τῆς ἐγχειρήσεως προκατασκευάζει τὴν τῶν πραχθησομένων ἀσφάλειαν· καὶ ἐπίστανταί γε πάντες ἄνθρωποι τὴν τῶνδε τῶν χειρῶν ἁγιωτάτην λατρείαν, ὀφείλεσθαι τῷ Θεῷ πίστει καθαρᾷ καὶ εἰλικρινεστάτῃ. καὶ σύν γε ταῖς χερσὶν εὐχαῖς τε καὶ λιτανείαις, πᾶν ὅσον ἐστὶν ὑπὲρ συμφέροντος, κατορθοῦσθαι, προσγινομένης ὠφελείας ἰδίᾳ τε καὶ δημοσίᾳ τοσαύτης, ὅσην ἂν ἕκαστος αὐτῷ τε καὶ τοῖς φιλτάτοις ηὔξατο· ἱστόρησαν δὲ καὶ τὰς μάχας, καὶ C ἐθεάσαντο καὶ τὸν πόλεμον, τῆς τοῦ Θεοῦ προνοίας τὴν νίκην τῷ δήμῳ βραβευούσης, καὶ εἶδον τὸν Θεὸν ἡμετέραις εὐχαῖς συναιρόμενον. ἀνίκητον γὰρ χρῆμα ἡ δικαία προσευχὴ, καὶ οὐδεὶς ὁσίως λιτανεύων ἀποτυγχάνει τοῦ σκοποῦ· οὐ γὰρ παραλείπεται κόσμος ἀποτεύγματι, εἰ μὴ μόνον ἔνθα ἂν τὸ τῆς πίστεως ὀκλάζῃ. ὁ γὰρ Θεὸς ἀεὶ πάρεστιν εὐμενὴς, τὴν τῶν ἀνθρώπων προσδεχόμενος καλοκαγαθίαν· διὸ ἀνθρώπινον μὲν, πταῖσαι ποτέ· ὁ δὲ Θεὸς, ἀναίτιος τῶν ἀνθρωπίνων πταισμάτων· διὸ χρὴ τοὺς D πάντας τοὺς τὴν θεοσέβειαν κατὰ διώκοντας χάριν ὁμολογεῖν τῷ σωτῆρι τῶν πάντων, ἕνεκεν τῆς ἡμετέρας αὐτῶν σωτηρίας, καὶ τῆς τῶν δημοσίων πραγμάτων εὐμοιρίας. ὁσίαις τε εὐχαῖς καὶ λιτανείαις ἐπαλλήλοις ἐξιλεοῦσθαι τὸν Χριστὸν ἡμῶν, ὅπως τὰς εὐεργεσίας αὐτοῦ διαφυλάττοι· οὗτος γάρ ἐστιν ἀήττητος σύμμαχος καὶ ὑπερασπιστὴς τῶν δικαίων. ὁ δὲ αὐτὸς, κριτὴς ἄριστος. ἀθανασίας ἡγεμὼν, ἀιδίου ζωῆς χορηγός.